www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ
# ΔΟΜΝΙΚΗΣ

(ἑορταζομένης τῇ 8ῃ Ἰανουαρίου)




Ἀναπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα τοῦ Μηναίου
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
καὶ ἀφιερωθεῖσα φιλαδέλφως τῇ ὁσιολογιωτάτῃ Γεροντίσσῃ Δομνίκῃ,
Καθηγουμένῃ τῆς ἐν Αἰκατερίνμπουργκ Ἱερᾶς Μονῆς Παναγίας τοῦ Τιχβίν

*** Ἅγιον Ὄρος Ἄθως * □βιβ´ * 2012 ***

www.tezaurliturgic.ro



## Τῌ Η΄ ΤΟΥ ΜΗΝΟΣ ΙΑΝΟΥΑΡΙΟΥ ΜΝΗΜΗ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΔΟΜΝΙΚΗΣ

* * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχους Ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Μηναίου. Ἦχος.δ΄. Ἔδωκας σημείωσιν.

Ἐκ Δυσμῶν ἀνέτειλας, πρὸς τὴν Ἑῴαν πανόλβιε, ὡς ἀστὴρ φαεινότατος, ἀκτῖσιν ἀστράπτουσα, τῶν σῶν ἐναρέτων, πράξεων Δομνίκη, καὶ κατεφώτισας πιστῶν, τὰς διανοίας φέγγει θαυμάτων σου· διό σε μακαρίζομεν, καὶ τὴν σὴν μνήμην γεραίρομεν, τὸν Χριστὸν μεγαλύνοντες, τὸν σεπτῶς σε δοξάσαντα.

Τρωθεῖσα τῷ ἔρωτι, τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, ὦ Δομνίκη πανεύφημε, αὐτῷ ἠκολούθησας ἀπαρνησαμένη, ἐπίκηρον δόξαν, καὶ τῆς σαρκὸς τὰς ἡδονάς, καὶ πᾶσαν βίου ἄλλην ἀπόλαυσιν· διό σε εἰσῳκίσατο, εἰς φωτεινότατον θάλαμον, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Πάθη τοῦ Κυρίου σου, καὶ Ποιητοῦ ἀναπλάττουσα, ἐν αὐτῇ ἀναδέδειξαι, τοῦ Λόγου ὡς ποίημα, λογικὸν Δομνίκη· καὶ διὰ τοῦ Λόγου, ἐπαιδαγώγησας παθῶν, τῆς ἀλογίας τὰ παρεκκλίματα· διὸ καὶ καθ᾽ ὁμοίωσιν, εὐθυποροῦσα ἀοίδιμε, ἀληθὲς καὶ ἀκίβδηλον, τοῦ Θεοῦ ὤφθης ἄγαλμα.

ἕτερα νεοσύνθετα. Ἦχος.ὁ αὐτός. Ὡς γενναῖον ἐν μάρτυσι.

Θείῳ ἔρωτι ἔλιπες, καὶ γονεῖς καὶ πατρίδα σου, ξενιτείαν σύμβιον προτιμήσασα, Ἀλεξανδρείας δὲ φθάσασα, τὴν πόλιν συνῴκησας, τῇ τετράδι ἱερῶν, νεανίδων ἃς εἵλκυσας, πρὸς ἀλήθειαν, τοῦ Χριστοῦ θείοις λόγοις σου

Δομνίκη, καὶ κατέστησας συνάθλους, ἀσκητικῇ πολιτείᾳ σου.

Δι' ἀγγέλου ὁράσεως, παραδόξως ἐδέξατο, εἰς τὴν Βασιλεύουσαν, συνοδίαν σου, ὁ ἱεράρχης Νεκτάριος, καὶ θείῳ βαπτίσματι, εἰς τὴν ποίμνην τοῦ Χριστοῦ, συνοδούς σου ἠρίθμησεν, καὶ εὐλόγησεν, ἀνεγεῖραι προφήτου Ζαχαρίου, τὴν μονὴν ἔνθα Δομνίκη, θεοφιλῶς ἡγουμένευσας.

Μοναστρίας ἀνέδειξας, τοῦ Χριστοῦ οἰκητήρια, ταῖς σαῖς παραινέσεσι καὶ τῷ βίῳ σου, καὶ πλείστων θεία διδάσκαλος, Δομνίκη γεγένησαι, πολιτῶν θεοφιλῶν, Πατριάρχου τε σύμβουλος καὶ τοῦ ἄνακτος, τὴν σοφίαν τοῦ Πνεύματος πλουτοῦσα, ἣν ἑκάστῳ κατὰ χρείαν, ἐν διακρίσει δένειμας.

Δόξα. Ἦχος πλ.β΄.

Τῆς παρθενίας τὴν χριστόφωτον λαμπάδα τηρήσασα ἄσβεστον, ἐκ σκότους εἰς τὸ φῶς τῆς ἀληθείας ὡδήγησας, τὴν τετράδα τῶν ὁμοψύχων συνασκητριῶν σου. Καὶ τὴν ὁδὸν τῆς εὐαγγελικῆς ἀσκήσεως θεοφιλῶς περάνασα, εἰς τὸν λιμένα τῆς θείας Βασιλείας προσωρμίσθης, ὡς πολύφορός τις ναῦς, Δομνίκα μῆτερ πανθαύμαστε· ἔνθεν ταῖς εὐχαῖς σου ἐνίσχυε καὶ ἡμᾶς, ὅπως τὰς ἀρετάς σου μιμούμενοι, τῆς ἐν Χριστῷ ἀτελευτήτου ζωῆς, συγκληρονόμοι γενώμεθα.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός.

Θεὸς Λόγος ἐπεφάνη ἐν σαρκί, τῷ γένει τῶν ἀνθρώπων· ἵστατο βαπτισθῆναι ἐν Ἰορδάνῃ, καὶ ἔλεγε πρὸς αὐτὸν ὁ Πρόδρομος· Πῶς ἐκτείνω χεῖρα, καὶ ἅψωμαι κορυφῆς κρατούσης τὰ σύμπαντα; Εἰ καὶ ἐκ Μαρίας ὑπάρχεις βρέφος, ἀλλ' οἶδά σε Θεὸν προαιώνιον· ἐπὶ τῆς γῆς βαδίζεις, ὁ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ· καὶ δοῦλος Δεσπότην, βαπτίζειν οὐ μεμάθηκα. Ἀκατάληπτε Κύριε, δόξα σοι.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Τὰ ὁσιακὰ ἀναγνώσματα

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε·

μάθετε, δικασταί, περάτων γῆς, ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. 4, 7-15).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄

Δομνίκαν τὴν ὄντως κυριώνυμον, τὴν φιλοθέως ἀῤῥενώσασαν τὸν νοῦν, καὶ κατὰ παθῶν καὶ δαιμόνων νικητικῶς ἀριστεύσασαν, πῶς ἂν σιωπῇ παραπέμψαιμενκ ὡς χριστόβλητος δορκὰς γὰρ αὕτη ἰσοβίως τὸν Νυμφίον ἐκζητοῦσα, καὶ τῇ πληθύϊ τῶν χαρίτων τοῦ Ἁγίου Πνεύματος κοσμηθεῖσα, πρόξενος ἐγένετο πολλῶν εἰς σωτηρίαν. Ὅθεν τὴν μνήμην ταύτης χαρμοσύνως ἑορτάζοντες, δοξάζομεν τὸν ταύτην δοξάσαντα Πολέλεον Κύριον.

Ἦχος β΄

Τὸ πολυτάραχον τοῦ βίου σωφρόνως ἐκφυγοῦσα καὶ τῆς αὐτοειρήνης Χριστοῦ τῷ λιμένι προσδραμοῦσα, παρθένων οἰκητήριον ἀνήγειρας, φιλόθεε Δομνίκη, ἔνθα ἀσκήσει

σφοδρᾷ ὑπερέλαμψας, καὶ τῶν δαιμόνων τὰ θήρατρα πάντα διέλυσας, τὴν δύναμιν τοῦ Σταυροῦ ἀποδείξασα καὶ οἷα χαρίσματα ἀθάντα δίδωσιν τοῖς φιλοτίμοις ἐργάταις ὁ Κύριος τοῦ ἀμπελῶνος, Ὃν μὴ διαλίπῃς ἱκετεύειν, ὑπὲρ τῶν βίον σου θαυμαζόντων, καὶ πίστει τιμώντων τὴν πανέορτον μνήμην σου.

Ἦχος γ΄

Τῷ γλυκυτάτῳ βέλει τοῦ Κυρίου τοξευθεῖσα, καὶ τὰ σκηνώμτα Αὐτοῦ ὑπὲρ τὰς τῶν ἁμαρτωλῶν συσκηνίας προελομένη, ὡς πάμφωτος λαμπὰς ἐξήστραψας, τῇ παρθενικῇ σου χάριτι καὶ τῇ πληθύϊ τῶν θαυμάτων. Διὸ ὑπερπόθητος ἐγένου τοῖς πᾶσι, σωτηριώδη νάματα ἐκβλύζουσα τοῦ στόματός σου, καὶ ἀλανθάστως ὁδηγοῦσα αὐτοὺς πρὸς τὴν ἀγάπησιν Χριστοῦ, μεθ’ Οὗ καὶ ἡμᾶς σύναψον Δομνίκη θεοχαρίτωτε, τοὺς ἐν ὕμνοις καὶ ᾠδαῖς, τὴν μνήμην σου γεραίροντας.

Ἦχος δ΄

Τῆς παρθενίας τὴν λαμπάδα ἀείφωτον τηρήσασα, εἰς τὸν νυμφῶνα τοῦ γλυκυτάτου Ἰησοῦ ἐπαξίως συνελήλυθας, ἅμα ταῖς τέσσαρσιν ὁμοψύχοις σου, Δομνίκη μῆτερ ἀξιοθαύμαστε. Καὶ τὴν Μονήν σου ἁγιαστήριον θεῖον ἀναδείξασα, ὡς ἄλλο τι προοίμιον τοῦ Παραδείσου, χαίρουσα κεκοίμησαι τὸν ὕπνον τῶν δικαίων, μεθ’ ὧν πρέσβευε τῷ Ζωοδότῃ Χριστῷ, ὑπὲρ τῶν ἀνυμνούντων σε.

Δόξα. Ἦχος πλ.α΄.

Ὡς λογικὸν ὁλοκαύτωμα σεαυτὴν ἀναθεῖσα τῷ ἀθανάτῳ Νυμφίῳ Χριστῷ, καὶ ὡς πανεύοσμος κῆπος ἐκ χριστοειδῶν ἀνθέων τῶν ἀρετῶν πεποικιλμένη, θαῦμα ἐδείχθης ἀξιόθεον, Δομνίκη πανάρετε. Συνάψασα δὲ τῇ καθαρότητι τὴν ἄσκησιν, καὶ τῷ θείῳ ἔρωτι τὴν φιλαδελφίαν, ἄγαλμα ὁσιακὸν πεφανέρωσαι, καὶ τύπος μοναδικῆς ἀκριβείας. Διὸ

ἐν οὐρανοῖς ἀναπαυομένη ὡς ἐπόθεις, μνήσθητι ἐν παῤῥησίᾳ Μῆτερ πανοσία, καὶ ἡμῶν τῶν ὑμνούντων σε.

Καὶ νῦν. Τῆς ἑορτῆς, ἦχος ὁ αὐτός.

Ἐν Ἰορδάνῃ ποταμῷ Χριστὸς ὁ Θεὸς ἡμῶν, μολεῖ πρὸς τὸ Βάπτισμα, καθᾶραι θέλων ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῇ αὐτοῦ ἐπιφανείᾳ, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ἔρωτι τρωθεῖσα θεϊκῷ, ἔλιπες τὴν φίλην πατρίδα, ὥσπερ ποτὲ Ἀβραάμ, καὶ εἰς Ἀλεξάνδρειαν, ἐλθοῦσα ἤναψας, εὐσεβείας τὴν κάμινον, ψυχαῖς τῶν τεσσάρων, νεανίδων λόγοις σου καὶ παραδείγματι, ἅς περ ἄχρι τέλους τοῦ βίου, ὁμοψύχους ἔσχες Δομνίκη, οὐρανόθεν δῶρον χριστοχάριστον.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.

Ἄγγελος Κυρίου ἐμφανῶς, εἴρηκε κλεινῷ Νεκταρίῳ ὑμῶν τὴν ἄφιξιν, εἰς Κωνσταντινούπολιν, πεντὰς θεόκλητε, ὅστις καὶ ἐνεκέντρισεν τὰς κατηχουμένας, διὰ τοῦ βαπτίσματος, εἰς καλλιέλαιον, καὶ εἰς τὴν Μονὴν Ζαχαρίου, σὲ καθηγουμένην Δομνίκη, ὥρισεν εἰδώς σου τὰ χαρίσματα.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

Βίον ἀσωμάτων ἐν σαρκί, ἔζησας Δομνίκη ὁσία, καὶ χάριν εἴληφας, τοῦ ποιεῖν θαυμάσια, ταῖς σαῖς ἁγίαις εὐχαῖς, μοναζούσας δὲ ἔδειξας, εἰκόνας Κυρίου, ζώσας φιλοτέκνοις σου καὶ μητρικαῖς διδαχαῖς· νῦν δὲ παραδείσου τρυφῶσα, πάντας τοὺς τιμῶντάς σε σκέπε, καὶ κατὰ παθῶν ψυχῆς ἐνίσχυε.

Δόξα. Ἦχος β΄.

Τῷ θεϊκῷ ἔρωτι τὸ τῆς συνειδήσεως μαρτύριον Δομνίκη καθ’ ὥραν συμβαλλοῦσα, πῦρ τῷ πυρὶ προσετίθεις φιλοτίμως, ὅπως κερδήσῃς τὸν ποθητὸν Νυμφίον Χριστόν. Μεγάλως δὲ ἀγωνισθεῖσα, μεγίστων ἠξιώθης καὶ χαρισμάτων, νυμφαγωγὸς σοφὴ φανεῖσα ταῖς χριστοφιλέσι μοναστρίαις σου. Ἐπιτυχῶς δὲ περαιώσασα τὸν πλοῦν τοῦ βίου, ἐλλιμενίσθης ἀσφαλῶς ὡς ναῦς ἀρετοφόρος εἰς τὴν οὐράνιον Βασιλείαν, ἔνθα μὴ παύσῃ δεομένη, ὑπὲρ τῶν πιστῶς τιμώντων σε, Μῆτερ ἀξιοθαύμαστε.

Καὶ νῦν. Τῆς ἑορτῆς, ὁμόηχον. Βύζαντος

Ὑπέκλινας κάραν τῷ Προδρόμῳ, συνέθλασας κάρας τῶν δρακόντων, ἐπέστης ἐν τοῖς ῥείθροις, ἐφώτισας τὰ σύμπαντα, τοῦ δοξάζειν σὲ Σωτήρ, τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε..

Ἀγάπῃ τῇ κρείττονι, καταυγασθεῖσα τὸν νοῦν, ἀσκήσει ἐξέλαμψας,
ὥσπερ λαμπὰς φαεινή, Δομνίκη πανεύφημε. Ὅθεν μοναζουσῶν σε, ὁδηγὸν φωτοφόρον, ἔδειξεν ὁ Δεσπότης, διὰ βίου καὶ λόγου. Ὧ πρέσβευε θεοφόρε, σῴζεσθαι ἅπαντας.

καὶ τῆς ἑορτῆς.
Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε

www.tezaurliturgic.ro



**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

* * *

Μετὰ τὴν α´ στιχολογίαν.Κάθισμα. Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

Ἀγάπῃ τοῦ Χριστοῦ, τὰ παρόντα παρεῖδες, καὶ ὄπισθεν Αὐτοῦ ὡς ἀμνὰς ἠκολούθεις, Δομνίκη ὑπακούουσα, σωτηρίας προστάγμασιν· ὅθεν μέτοικος, τῆς σῆς πατρίδος ἐγένου, καὶ ἰσάγγελον βίον σοφῶς ἐξελέξω, ἐν ᾧ καὶ διέπρεψας.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.

Φορέσας τὴν ἐμήν, Ἰησοῦ μου πτωχείαν· πρόερχῃ σεαυτόν, τοῖς οἰκέταις μιγνύων, καὶ Βάπτισμα αἰτούμενος, ὑπὸ δούλου φιλάνθρωπε· ὅθεν βλέπων σε, ὁ Ἰωάννης ἐβόα· Πῶς βαπτίσω σε, ῥύπον μὴ ἔχοντα ὅλως, Θεὲ ὑπεράγαθε;

Μετὰ τὴν β´ στιχολογίαν. Κάθισμα. Ἦχος δ´. Ταχὺ προκατάλαβε.

Χριστὸν τὸν γλυκύτατον, ἔσχες πνοὴν καὶ ζωήν, καθάπερ ἀσώματος βιοῦσα πνευματικῶς, Δομνίκη πανάριστε· σύλλογον δὲ παρθένων, ἐν μονῇ τοῦ Προφήτου, ἤθροισας φιλοτέκνως, καὶ ἀνέδειξας τοῦτον, ἐπίγειον παράδεισον, τῇ ὁδηγίᾳ σου.

www.tezaurliturgic.ro

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.

Πτωχεύσας ὁ πλούσιος, δι' εὐσπλαγχνίαν πολλήν, ἡμᾶς τοὺς πτωχεύσαντας, δι' ἀκρασίαν ποτέ, πλουτίσαι βουλόμενος, ἔρχεται ἐπιβῆναι, Ἰορδάνου τοῖς ῥείθροις, καὶ ὑπὸ Ἰωάννου, προφανῶς βαπτισθῆναι. Ὑμνήσωμεν πιστοὶ τὴν αὐτοῦ, ἄκραν ταπείνωσιν.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ. α΄ Τὸν συνάναρχον Λόγον.

Τῆς ψυχῆς τὴν λαμπάδα ἄσβεστον ἔχουσα, τῷ ἐλαίῳ πληροῦσα τοῦ σοῦ Νυμφίου Χριστοῦ, καθ' ἡμέραν σεαυτὴν ἐνέκρους πάνσεμνε, δι' ἀσκήσεως σοφῶς, ἵνα τύχῃς τῆς ζωῆς, τῆς ἄνω καὶ ἀσαλεύτου, διὸ μεγίστων κατηξιώθης, Δομνίκη μῆτερ ἀπολαύσεων.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.

Τὸν ὁμότιμον Λόγον Πατρὶ καὶ Πνεύματι, σαρκωθέντα δι' οἶκτον καὶ βαπτιζόμενον, τῶν Ἀγγέλων οἱ χοροί, βλέποντες ἔτρεμον· καὶ Ἰορδάνης ποταμός, εὐλαβηθεὶς καὶ φοβηθείς, ἐστράφη εἰς τὰ ὀπίσω, ἡμᾶς ἀνάγων πρὸς ὕψος, τῆς σωτηρίας, πάθεσι ῥεύσαντας.

Οἱ Ἀναβαθμοί. Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.

Προκείμενον. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι

Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.

τὸ Εὐαγγέλιον, τὸ ὁσιακόν(ὄρθρος ὁσ.Σάββα)

Ὁ Ν΄ ψαλμός, Ἐλέησόν με ὁ Θεός.

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β΄.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός....

Ὡς φῶς σε ἔθετο Χριστός, ἐν τῇ Βασιλευούσῃ μῆτερ Δομνίκη, πολλοὺς φωτίσασαν σοφῶς, καὶ ἀναδείξασαν τὴν Μονήν σου ψυχῶν ἁγιαστήριον. Ὅθεν κεκοσμημένην ταῖς θείαις ἀρεταῖς, εἰς τὸν νυμφῶνα τὸν ἄφθαρτον ὡς ἐπόθεις

προσελάβετό σε, ἔνθα μνημόνευε καὶ ἡμῶν, τῶν πόθῳ ἑορταζόντων σε, ἀσκητριῶν τὸ καύχημα.

Εἶτα οἱ Κανόνες. Ὁ α´ κανὼν τῆς ἑορτῆς.

Ποίημα τοῦ ἁγίου Κοσμᾶ, ἐπισκόπου Μαϊουμᾶ, οὗ ἡ ἀκροστιχίς·

**«Βάπτισμα ῥύψις γηγενῶν ἁμαρτάδος.»**

Ὠδὴ α'. Ἦχος β'.

Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιός, ἐν πολέμοις Κύριος, ὅτι δεδόξασται.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει, ῥείθροις Ἰορδάνου καὶ δρακόντων, κεφαλὰς ἐμφωλευόντων διαθλάττει, ὁ Βασιλεὺς τῶν αἰώνων Κύριος· ὅτι δεδόξασται.

Πυρὶ τῆς Θεότητος ἀΰλῳ, σάρκα ὑλικὴν ἠμφιεσμένος, Ἰορδάνου περιβάλλεται τὸ νᾶμα, ὁ σαρκωθείς, ἐκ Παρθένου Κύριος· ὅτι δεδόξασται.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων, τούτοις καθαρθεὶς ἐν Ἰορδάνῃ, οἷς θελήσας ὡμοιώθη ὃ ἦν μείνας, τοὺς ἐν σκότει φωτίζει Κύριος· ὅτι δεδόξασται.

Ὁ κανὼν τῆς Ἁγίας ἐκ τοῦ Μηναίου, οὗ ἡ ἀκροστιχίς:

**«Τὴν καλλίπαιδα νῦν γεραίρω Δομνίκην. Ἰωσήφ.»**

Ὠδὴ α'. Ἦχος β'. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Τῷ ἐνθέῳ πόθῳ τὴν ψυχήν, ἔνδοξε πτερώσασα, τῶν σαρκικῶν θηράτρων ὑπερίπτασο, διὸ ἱκετεύω σε, θηρευθέντα με, ταῖς παγίσι τοῦ ὄφεως, σοῦ ταῖς ἱκεσίαις, πάνσεμνε Δομνίκη ἀπολύτρωσαι.

Ἠκολούθεις χαίρουσα Χριστῷ, τούτου ἀνιχνεύουσα, τὴν ἱερὰν νομοθεσίαν πάνσεμνε· καὶ παρθένων τάγμασι, συνηρίθμησαι, ὡς παρθένος καὶ ἄμωμος· ὅθεν σε τιμῶμεν, πίστει συνελθόντες ἀξιάγαστε.

Νυσταγμὸν κακίας οὐδαμῶς, Ἔνδοξε νυστάζουσα, ἐπαγρυπνεῖς ταῖς φωταυγέσι πράξεσι, καὶ πρὸς φῶς ἀνέσπερον, ἐξεδήμησας, ταῖς ἐκεῖθεν λαμπρότησι, περιχεομένη, καὶ φωταγωγοῦσα τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Καὶ πρὸ τόκου ἄφθορος ἁγνή, καὶ μετὰ τὴν κύησιν Μήτηρ Θεοῦ, ὑπερφυῶς διέμεινας· ὅθεν σε ποθήσασα, θείῳ Πνεύματι, ἡ Δομνίκη ὀπίσω σου, ἄφθορος προσήχθη, τῷ Παμβασιλεῖ Υἱῷ σου, Ἄχραντε.

Καταβασία. Βυθοῦ ἀνεκάλυψε πυθμένα.

Ὠδὴ γ´. Τῆς ἑορτῆς.

Ἰσχὺν ὁ διδούς, τοῖς Βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται· μολεῖ δὲ πρὸς τὸ Βάπτισμα· διὸ πιστοὶ βοήσωμεν· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Στειρεύουσα πρίν, ἠτεκνωμένη δεινῶς σήμερον, εὐφραίνου Χριστοῦ ἡ Ἐκκλησία· δι᾿ ὕδατος καὶ Πνεύματος, υἱοὶ γὰρ σοὶ γεγέννηνται, ἐν πίστει ἀνακράζοντες· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Μεγάλῃ φωνῇ, ἐν τῇ ἐρήμῳ βοᾷ Πρόδρομος· Χριστοῦ ἑτοιμάσατε ὁδούς, καὶ τρίβους τοῦ Θεοῦ ἡμῶν, εὐθείας ἀπεργάσασθε, ἐν πίστει ἀνακράζοντες· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Τῆς Ὁσίας. Ἐξήνθησεν ἡ ἔρημος.

Πλωτῆρας θαλαττεύοντας, διεσώσω ἔλαιον, μετ᾿ εὐλογίας πέμπουσα, τῇ θαλάσσῃ καὶ μεταβάλλουσα, εἰς γαλήνην Δομνίκη τὸ κλυδώνιον.

Ἀΰλοις λαμπομένην σε, φρυκτωρίαις ἄγγελος, φωτοειδὴς ἐμήνυσεν, Ἱεράρχῃ ἐπιδημήσασαν, Βασιλίδα πρὸς πόλιν θείῳ νεύματι.

Ἱστίῳ πτερουμένη, τῆς ἐγκρατείας ἔφθασας, τῆς ἀπαθείας ἔνδοξε, τοὺς λιμένας· λιμήν τε γέγονας, τοῖς εἰς βάθη κακίας ὀλισθήσασι.

Θεοτοκίον.

Δυνάμωσον Πανάχραντε, τὸ ἀσθενές μου δύναμιν, ἡ τοῦ Ὑψίστου τέξασα, τὴν τὸ εἶναι πᾶσι παρέχουσαν, καὶ Δομνίκης τὴν μνήμην μεγαλύνασαν.

Καταβασία. Ἰσχὺν ὁ διδούς.

Κάθισμα. τῆς Ὁσίας. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὴν σάρκα ἐσταύρωσας, σὺν τοῖς παθήμασι, καὶ πᾶσαν τὴν ἔφεσιν, πρὸς Χριστὸν ἔσχηκας, Δομνίκη Νυμφίον τὸν σόν· ἄφθαρτον διὰ τοῦτο, ἐκομίσω τὸ στέφος, καὶ Ἀγγέλων χορείαις, ἠριθμήθης Ὁσία, πρεσβεύουσα αὐτῷ ἐκτενῶς, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς, ὅμοιον.

Τὰ ῥεῖθρα ἡγίασας τὰ Ἰορδάνεια· τὸ κράτος συνέτριψας τῆς ἁμαρτίας, Χριστὲ ὁ Θεὸς ἡμῶν· ὑπέκλινας τῇ παλάμῃ, σεαυτὸν τοῦ Προδρόμου, καὶ ἔσωσας ἐκ τῆς πλάνης, τῶν ἀνθρώπων τὸ γένος· διό σε ἱκετεύομεν· Σῶσον τὸν κόσμον σου.

Ὠδὴ δ΄. Τῆς ἑορτῆς.

Ἀκήκοε Κύριε φωνῆς σου, ὃν εἶπας, Φωνὴ βοῶντος ἐν ἐρήμῳ, ὅτε ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ, ὅλος γεγονὼς τοῦ παρόντος, Πνεύματος δὲ ἐβόησε· Σὺ εἶ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Ῥυπτόμενον ἥλιον τίς εἶδεν, ὁ Κήρυξ βοᾷ, τὸν ἔκλαμπρον τῇ φύσει, ἵνα σε ὕδασιν ἀπαύγασμα τῆς δόξης, Πατρὸς χαρακτὴρ ἀϊδίου ἐκπλύνω, καὶ χόρτος ὤν, πυρὶ ψαύσω τῆς σῆς Θεότητος; σὺ γὰρ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Ὑπέφηνεν ἔνθεον ἣν εἶχεν, εὐλάβειαν Μωσῆς περιτυχὼν σοι· ὡς γὰρ τῆς βάτου σε φωνήσαντα ᾐσθήθη, εὐθὺς ἀπεστράφη τὰς ὄψεις· ἐγὼ δὲ πῶς βλέψω σε τρανῶς, ἢ πῶς χειροθετήσω σε; σὺ γὰρ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Ψυχῆς τελῶν ἔμφρονος, καὶ λόγῳ τιμώμενος, ἀψύχων εὐλαβοῦμαι· εἰ γὰρ βαπτίσω σε, κατήγορόν μοι ἔσται, πυρὶ καπνιζόμενον ὄρος, φυγοῦσα δὲ θάλασσα διχῇ, καὶ

Ἰορδάνης οὗτος στραφείς· σὺ γὰρ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Τῆς Ὁσίας. Ἐλήλυθας ἐκ Παρθένου.

Ἀπήστραψας, φωτισμὸν ἰαμάτων διώκουσα, παθῶν τὴν σκοτόμαιναν, καὶ τῶν δαιμόνων τὰς φάλαγγας· πάντας δὲ ἐφώτισας, τοὺς εὐσεβῶς σοι, Δομνίκη προσπελάζοντας.

Νυμφίος σε, Βασιλεὺς ἐπουράνιος ἔνδοξε, δοξάζει ἐνώπιον, τοῦ ἐπὶ γῆς βασιλεύοντος, καταπληττομένου σου, τὸν ἀκηλίδωτον βίον καὶ τὰ θαύματα.

Ὑπήκοος, τῶν εὐχῶν σου ὑπάρχων ὁ Κύριος, σαφῶς προσημαίνει σοι, τόπον ἐν ᾧ φροντιστήριον ἤγειρας, τὰ πνεύματα, τῆς πονηρίας Δομνίκη ἀπελάσασα.

Θεοτοκίον.

Νεκρώσεως, τοὺς χιτῶνας Ἀδὰμ ἐξεδύσατο, τῇ θείᾳ γεννήσει σου, καὶ τὴν στολὴν ἠμφιάσατο, μόνος ἣν ἐξύφανεν, ἐν τῇ γαστρί σου ὁ Λόγος σωματούμενος.

Καταβασία. Ἀκήκοε, Κύριε, φωνῆς σου.

Ὠδὴ ε΄. Τῆς ἑορτῆς.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγός, λῦσαι τὸ κατάκριμα ἥκει, Ἀδὰμ τοῦ πρωτοπλάστου· καθαρσίων δέ, ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ· ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν, εἰρήνην χαρίζεται.

Συνελθόντων ἀπείρων λαῶν, ὑπὸ Ἰωάννου βαπτισθῆναι, αὐτὸς ἐν μέσῳ ἔστη, προσεφώνει δὲ τοῖς παροῦσι· Τίς ἔδειξεν ἀπειθεῖς, τὴν ὀργὴν ὑμῖν ἐκκλῖναι τὴν μέλλουσαν; καρποὺς ἀξίους Χριστῷ ἐκτελεῖτε· παρὼν γὰρ νῦν, εἰρήνην χαρίζεται.

Γεωργὸς ὁ καὶ Δημιουργός, μέσος ἑστηκὼς ὡς εἷς ἁπάντων, καρδίας ἐμβατεύει· καθαρτήριον δὲ πτύον χειρισάμενος, τὴν παγκόσμιον ἅλωνα πανσόφως διϊστησι, τὴν ἀκαρπίαν φλέγων, εὐκαρποῦσιν αἰώνιον, ζωὴν χαριζόμενος.

Τῆς Ὁσίας. Ὁ τοῦ φωτὸς χορηγός.

Γεωπονήσασα, καὶ τῷ ἀρότρῳ τῶν εὐχῶν τέμνουσα, τὴν ψυχικήν, αὔλακα πολύχουν, ἐδρέψω τὸν καρπόν, θείαις ἀποθήκαις, Δομνίκη συντηρούμενον.

Ἐπιφωτίζουσα, τὸν καθαρόν σου λογισμὸν ἔβλεπες, τοῦ παντουργοῦ, Πνεύματος δυνάμει, τὰ πόῤῥω ὡς ἐγγύς, καὶ τῶν ἐσομένων, προλέγεις τὴν ἔκβασιν.

Ῥώμῃ τοῦ Πνεύματος, ἱερουργός σε τελειοῖ χρίσματι, θεουργικῷ, τῆς διακονίας, ποιμαίνειν ἱεράς, ψυχὰς ἐγκελεύων, Δομνίκη θεόσοφε.

Θεοτοκίον.

Ἅγιον Κύριον, Κυριοτόκε τοῦ παντὸς τέτοκας, ὃν ἐκ ψυχῆς, Δομνίκη ποθοῦσα, παθῶν φθοροποιῶν, κατακυριεύει, Παρθένε ὑμνοῦσά σε.

Καταβασία. Ἰησοῦς, ὁ ζωῆς ἀρχηγός.

ᾨδὴ ϛ΄. Τῆς ἑορτῆς.

Ἡ φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ Φωτός, ὁ Ἑωσφόρος, ὁ τοῦ Ἡλίου Πρόδρομος, ἐν τῇ ἐρήμῳ, Μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε· ἰδοὺ γὰρ πάρεστι Χριστός, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Γεννηθεὶς ἀῤῥεύστως, ἐκ Θεοῦ καὶ Πατρός, ἐκ τῆς Παρθένου, δίχα σαρκοῦται ῥύπου Χριστός· οὗ τὸν ἱμάντα, τὴν ἐξ ἡμῶν τοῦ Λόγου συνάφειαν, λύειν ἀμήχανον (διδάσκει ὁ Πρόδρομος), γηγενεῖς ἐκ πλάνης λυτρούμενος.

Ἐν πυρὶ βαπτίζει, τελευταίῳ Χριστός, τοὺς ἀπειθοῦντας, καὶ μὴ Θεὸν φρονοῦντας αὐτόν· ἐν Πνεύματι δὲ καινοποιεῖ, δι᾽ ὕδατος χάριτι, τοὺς ἐπιγνώμονας αὐτοῦ τῆς Θεότητος, τῶν πλημμελημάτων λυτρούμενος.

Τῆς Ὁσίας. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἱερὸν προφητεῖον ἀνήγειρας, θείου Ζαχαρίου Προφήτου θεόφρονος· μεθ᾽ οὗ ναὸν εἰς ἅγιον, συγχορεύεις Δομνίκη θεόσοφε.

Ῥεῖθρον ὤφθης ἰάσεων ἄφθονον, πλύνουσα φλογμὸν παθημάτων καὶ βρύουσα, ἁγιασμὸν σωτήριον, κυριώνυμε Κόρη θεόνυμφε.

Ὡς καλὴν ὡς ὡραίαν ὡς ἔντιμον, ὡς τῆς παρθενίας αὐγαῖς διαλάμπουσαν, σὲ ὁ νυμφίος Κύριος, ἑαυτῷ συνεισάγει ἀοίδιμε.

Θεοτοκίον.

Δι’ ἐμὲ κατ’ ἐμὲ ἐχρημάτισε, βρέφος ὁ Παντέλειος ἀνακαινίζων με, παλαιωθέντα πάθεσι, διὰ σοῦ Παναγία Θεόνυμφε

Καταβασία. Ἡ φωνὴ τοῦ Λόγου.

### Κοντάκιον. Ἦχος α΄. Χορὸς ἀγγελικός.

Χορείαν εὔκλεῆ, σεμνοτάτων παρθένων, δι’ ἔργων ἀγαθῶν,
καὶ σοφῶν διδαγμάτων, ἐνθέως ὡδήγησας, πρὸς παστάδα
ἀκήρατον, ἔνθα πέφυκε, ζωῆς τὸ ξύλον Δομνίκη, δι’ οὗ
ζώωσον, τὴν νεκρωθεῖσαν ψυχήν μου,
ὁσία θεόληπτε.

### Ὁ Οἶκος

Τῇ πενταυγεῖ συνοδίᾳ τῶν σωφρονεστάτων Παρθένων τῆς Παραβολῆς,
ἀκολουθήσασα σοφῶς μακαριωτάτη,
καὶ εὐαγγελικῶς ξενιτεύσασα τῆς ἐνεγκαμένης σε,
ἐνυμφαγώγησας εἰς Χριστὸν τὴν πρὶν εἰδωλομανοῦσαν
τετράδα τῶν ὁμοψύχων συνασκητριῶν σου,
μεθ’ ὧν πλῆθος πιστῶν ἐφωταγωγήσατε τῇ ἀγγελοειδεῖ ὑμῶν πολιτείᾳ,
ἔχουσαι οὐράνιον προστάτην τὸν σεπτὸν γεννέτην τοῦ Προδρόμου,
καυχήματα τῆς ἀσκητικῆς διαγωγῆς δειχθεῖσαι ἐν τῇ Βασιλευούσῃ ·
σὺ δὲ καὶ αὐτουργὸς ὑπερφυῶν θαυμάτων ἐφάνης τῇ θείᾳ Χάριτι, Δομνίκη, ὁσία θεόληπτε

## Τὸ Συναξάριον

**Τῇ Η΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Δομνίκης καὶ τῆς συνοδίας αὐτῆς.**

*Στίχοι.*

Λιποῦσα τὴν γῆν οὐρανόφρων Δομνίκα,
Εἰς οὐρανοὺς ἀνῆλθεν, ὥσπερ ἠγάπα.
Δομνίκαν ὀγδοάτῃ πότμου λάβε νὺξ ἐρεβεννή.

*Ὑπόμνημα*

Αὕτη ἡ ὁσία μήτηρ ἡμῶν Δομνίκη ἔζησε κατὰ τοὺς χρόνους τοῦ αὐτοκράτορος Θεοδοσίου τοῦ μεγάλου(384), καταγομένη ἐκ τῆς περιφήμου Ῥώμης, ἣν διὰ τὸν Κύριον καταλιποῦσα, μετῴκισεν ἐν Ἀλεξανδρείᾳ. Μετὰ τεσσάρων ἑτέρων παρθένων, ὧν τὰ ὀνόματα εἰσὶν Εὐανθία, Νόννα, Δωροθέα καὶ Τιμοθέη, ἅς, εἰδωλομανούσας τὸ πρότερον, κατηχήσασα προσείλκυσεν εἰς τὴν πίστιν τοῦ Χριστοῦ, θείᾳ ἀποκαλύψει μετῴκισαν εἰς Κωνσταντινούπολιν. Ταύτας, ἀγγελικῇ προσταγῇ, ὑπεδέξατο χαίρων ὁ τότε ἅγιος πατριάρχης Νεκτάριος, ὅστις καὶ ἐβάπτισεν τὰς κατηχηθείσας. Ἀφιερωθεῖσαι δὲ σύμπεντε καθ’ ὁλοκληρίαν ὡς θύματα λογικὰ τῷ Δεσπότῃ Χριστῷ, ἐκάρησαν μοναχαὶ καὶ ἐγκατεστάθησαν εἰς τὴν ἐν Βασιλευούσῃ ἱερὰν Μονὴν τοῦ Προφήτου Ζαχαρίου, τῆς ὁποίας θεοφιλῶς ἠγουμένευσεν ἡ ὁσία Δομνίκη, ἣν καὶ διακόνισσαν ἐχειροτόνησεν ὁ ἅγιος Νεκτάριος. Ἐκεῖσε διὰ πολλῶν θαυμάτων καὶ ὑπερφυῶν σημείων βιώσασα ἡ μακαρία μήτηρ καὶ ἀπολαύσασα πολλῆς τιμῆς καὶ σεβασμοῦ ἐκ μέρους τῶν φιλομονάχων Κωνσταντινουπολιτῶν, βασιλέων, κληρικῶν τε καὶ λαϊκῶν, ὡς ἐν τῷ κατὰ πλάτος βίῳ ταύτης φαίνεται, πλήρης εὐαγγελικῶν ἀρετῶν κεκοσμημένη ἐτελεύτησεν χαίρουσα ἐν Κυρίῳ, Ὃν ἐκ ψυχῆς ἠγάπησεν καὶ ὁλοκαρδίως ἐπόθησεν, κληρονομήσασα τὰ αἰώνια καὶ ἄφθαρτα ἀγαθὰ τοῦ Παραδείσου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Γεωργίου τοῦ Κυπρίου καὶ ἐν τῇ ἐρήμῳ τοῦ Χοζεβᾶ, ἐν Παλαιστίνῃ, θεοφιλῶς ἀσκήσαντος.

*Στίχοι.*

Σὺν δάκρυσι σπείραντι τῷ Γεωργίῳ,

Καιρὸς θερίζειν ἐστὶ σὺν εὐθυμίᾳ.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος προφήτης Σαμέας ὁ Ἐλαμίτης, ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι.*

Ἐν γῇ τὸ μέλλον οὐκ ἔτι χρᾷ Σαμέας,
Ἄνω γὰρ οὗτος ὁ προφητικὸς τρίπους.

Μνήμη τῶν ἁγίων μαρτύρων Ἰουλιανοῦ καὶ Βασιλίσσης καὶ τῶν σύν αὐτοῖς Κελσίου καὶ Ἀντωνίου.

*Στίχοι.*

Ἰουλιανῷ πολλὰ καὶ Βασιλίσσῃ,
Ἔπαθλα κεῖνται, κειμένοις ἐκ τοῦ ξίφους.

Τέμνει κεφαλὴν τὸ ξίφος τὴν Κελσίου,
Καὶ σὺν κεφαλῇ τῇ δὲ τὴν Ἀντωνίου.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Καρτερίου, ἐν Καισαρείᾳ τῆς Παλαιστίνης ἀθλήσαντος.

*Στίχοι.*

Πάλαιε, Καρτέριε, πρὸς πῦρ καὶ δόρυ,
Τὸ καρτερόν σου πρὸς πάλας δεικνὺς δύω.

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κύρου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

*Στίχοι.*

Ὁ σὴν μελίζων Σάρκα Κῦρος, Χριστέ μου,
Σαρκὸς διαστάς, σῷ παρίσταται θρόνῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Ἀττικός, ὁ Πατριάρχης Κωνσταντινουπόλεως, ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι.*

Ὅλην ὑπερβὰς τὴν ὕλην τοῦ σαρκίου,
Ἥκεις ὅλος νοῦς, Ἀττικέ, πρὸς τοὺς Νόας.

Μνήμη τῶν ἁγίων τοῦ Χριστοῦ μαρτύρων Θεοφίλου διακόνου καὶ Ἑλλαδίου λαϊκοῦ τῶν ἐν Λιβύῃ ἀθλησάντων.

*Στίχοι.*

Πῦρ αὐτῶν ἀνδρῶν ἐν μεταφρένοις φέρει,
Ἐπισκιωθὲν τοῦ Θεοῦ μεταφρένοις.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Ἀγάθων, ὁ ἐν τῇ Σκήτει τῆς Αἰγύπτου ἀσκήσας, ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι.*

Ὡς ἠγαθύνθην, Ἀγάθων, τὴν καρδίαν,
Εἰρηνικοῦ σοῦ καὶ μόνου μνησθεὶς τέλους.

Μνήμη τοῦ ἁγίου Σεβερίνου, ἀποστόλου τῆς Αὐστρίας (Νορικῆς), κοιμηθέντος ἐν ἔτει 482.

*Στίχοι.*

Φωτιστὴν πεπλούτηκε σὲ Σεβερῖνε,
Ἡ Αὐστρία· ὅθεν σε πιστῶς γεραίρει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Θεοδώρου, κτήτορος τῆς περιωνύμου μονῆς τῆς Χώρας ἐν Κωνσταντινουπόλει.

*Στίχοι.*

Δῶρον ἐκ Θεοῦ διὰ Μονὴν τῆς Χώρας,
Εὗρες, Θεόδωρε, τὴν τῶν ζώντων Χώραν.

Μνήμη τοῦ ἁγίου ἐνδόξου ὁσιομάρτυρος Ἀμπώ, τοῦ ἐν Τιφλίδι τῆς Γεωργίας ἀθλήσαντος ἐν ἔτει 785.

*Στίχοι.*

Πλάνην ἀρνηθεὶς τῆς σκοτομόρφου Ἄγαρ,
Υἱὸς φωτὸς γέγονας, Ἀμπώ, ἀθλήσας.

Μνήμη τοῦ ἁγίου ὁσιομάρτυρος Γρηγορίου τῆς Λαύρας τῶν Σπηλαίων τοῦ Κιέβου, ἀθλήσαντος ἐν ἔτει 1093.

*Στίχοι.*

Πνιγμῷ ὁ Γρηγόριος εἴληφε στέφος,
Ἄσκησιν αὐτοῦ περάνας μαρτυρίῳ.

Μνήμη ἑτέρου ὁσίου Γρηγορίου, τοῦ θαυματουργοῦ, τῆς Λαύρας τοῦ Κιέβου.

*Στίχοι.*

Ἕτερος Γρηγόριος ἐν τοῖς Σπηλαίοις,
Ὡς γρηγορῶν ἔσχεν εἰρηνικὸν τέλος.

Ὁ ἅγιος Γρηγόριος, ἐπίσκοπος Ἀχρίδος, ὁ ἐν ἔτει 1012 διαλάμψας, ἐν εἰρήνῃ τελειοῦται.

*Στίχοι.*

Γρηγόρως λιπὼν Ἀχρίδος κάτω θρόνον,
Γρηγόριος ἔστη πρὸ Σαβαὼθ θρόνου.

Ὁ ἅγιος Μακάριος ὁ Μακρῆς, ὁ Βατοπαιδηνός, ὁ διατελέσας ἡγούμενος τῆς περιφήμου Μονῆς τοῦ Χριστοῦ Παντοκράτορος ἐν Κωνσταντινουπόλει, εἰρηνικῶς τελειοῦται.

*Στίχοι.*

Μακάριος, Μακάριε, ἔχων φίλον,
Τὸν Παντοκράτορα Χριστόν, ᾯ παρέστης.

Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἰσιδώρου τοῦ ἐν Γιούργιεφ τῆς Ἐσθονίας καὶ τῶν ἑβδομήκοντα συναθλητῶν αὐτοῦ, οἵτινες μὴ ἀποδεχθέντες ὅπως ἀρνηθῶσι τὴν Ὀρθοδοξίαν, ἐν ποταμῷ ἐπνίγησαν ὑπὸ Ρωμαιοκαθολικῶν μοναχῶν-στρατιωτῶν κατὰ τὸ ἔτος 1472.

*Στίχοι.*

Ποταμῷ Ἰσίδωρος σὺν τοῖς συνάθλοις,
Ταῖς χερσὶ ψευδαδέλφων ἐναπεπνίγη.

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

Ὠδὴ ζ´. Ὠδὴ θ´. Τῆς ἑορτῆς.

Νέους εὐσεβεῖς, καμίνῳ πυρὸς προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ θείου ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὥσπερ οὐρανῷ, σὺν τρόμῳ καὶ θαύματι παρίσταντο, ἐν Ἰορδάνῃ αἱ δυνάμεις τῶν ἀγγέλων σκοπούμεναι, τοσαύτην Θεοῦ τὴν συγκατάβασιν· ὅπως ὁ κρατῶν τὴν ὑπέρῳον τῶν ὑδάτων ὑπόστασιν, ἐν τοῖς ὕδασι, σωματοφόρος ἕστηκεν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νεφέλη ποτέ, καὶ θάλασσα θείου προεικόνιζε, Βαπτίσματος τὸ θαῦμα, ἐν οἷς ὁ πρὶν βαπτίζεται, διεξοδικῶς τῷ Νομοθέτῃ λαός. Θάλασσα δὲ ἦν τύπος ὕδατος, καὶ νεφέλη τοῦ Πνεύματος· οἷς τελούμενοι, Εὐλογητὸς εἶ κράζομεν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἅπαντες πιστοί, ἐν ᾧ τὴν τελείωσιν ἐλάβομεν, θεολογοῦντες ἀσιγήτως, σὺν ἀγγέλοις δοξάσωμεν, Πατέρα Υἱὸν καὶ Πνεῦμα Ἅγιον· τοῦτο γὰρ Τριὰς ὑποστάσεσιν ὁμοούσιος, εἷς δὲ Θεός, ᾧ καὶ ψάλλομεν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τῆς Ὁσίας. Ἀντίθεον πρόσταγμα.

Ὁ νοῦς σου ταῖς νεύσεσι ταῖς πρὸς τὸ θεῖον, θεούμενος πάντοτε, φωτοειδὴς γεγένηται· ἐντεῦθεν ἐξέκλινας, τὸ δυσμενὲς τῆς σαρκός, μέλπουσα θεόσοφε· ὁ Ὢν εὐλογημένος, καὶ ὑπερένδοξος.

Μυστήρια θεῖα σοὶ ἀποκαλύπτει, Θεὸς ὑπερούσιος, ἐν σοὶ ἀναπαυσάμενος· ὁρᾷς γὰρ φοιτήσαντα ἅγιον Ἄγγελον, καθαγιάσαντα Δομνίκη, τὴν τῶν ὑδάτων φύσιν ἐν Πνεύματι.

Ναὸς θείου Πνεύματος γεγενημένη, ναὸν πρὸς τὸν ἅγιον, ὑπάρχουσα ἀκήκοας, φωνῆς διδασκούσης σε θεῖα μυστήρια, καὶ τὴν ἐκ τοῦ σώματος, Δομνίκη διάζευξιν τοῦ βασιλεύοντος.

Θεοτοκίον.

Ἰσχύς μου καὶ ὕμνησις καὶ σωτηρία, ὑπάρχει ὁ Κύριος, ὁ σὲ Μητέρα πάναγνον, καὶ Νύμφην ἀνύμφευτον προεκλεξάμενος· ὃν ὑπὲρ τῶν δούλων σου ἀεί, μὴ διαλίπῃς πρεσβεύειν Ἄχραντε.

Καταβασία. Νέους εὐσεβεῖς.

Ὠδὴ η´. Τῆς ἑορτῆς.

Μυστήριον παράδοξον, ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον· ὅτι ῥείθροις ἔμελλεν, ἄϋλον πῦρ εἰσδέχεσθαι ὁ Ἰορδάνης, καὶ στέγειν σαρκί, βαπτιζόμενον τὸν Κτίστην· ὃν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπόθου φόβον ἅπαντα, ὁ Λυτρωτὴς τῷ Προδρόμῳ ἔφησεν· ἐμοὶ δὲ πειθάρχει, ὡς Χριστῷ μοι πρόσελθε· τοῦτο γὰρ φύσει πέφυκα· ἐμῷ προστάγματι εἶξον, καὶ βάπτισόν με συγκαταβάντα, ὃν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ῥημάτων ὡς ἀκήκοεν, ὁ Βαπτιστὴς τοῦ Δεσπότου, σύντρομος παλάμην ἐκτείνει· χειραπτήσας ὅμως δέ, τὴν κορυφὴν τοῦ Πλάστου αὐτοῦ, τῷ βαπτισθέντι ἐβόα· ἁγίασόν με· σὺ γὰρ Θεός μου, ὃν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Τριάδος ἡ φανέρωσις, ἐν Ἰορδάνῃ γέγονεν· αὕτη γὰρ ὑπέρθεος φύσις· ὁ Πατὴρ ἐφώνησεν· Οὗτος ὁ βαπτιζόμενος, Υἱὸς ὁ ἀγαπητός μου· τὸ Πνεῦμα συμπαρῆν τῷ ὁμοίῳ· ὃν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Ὁσίας. Τὸν ἐν καμίνῳ.

Κεκοσμημένη ἀρεταῖς, καὶ θαυμάτων κροσσωτοῖς πεποικιλμένη, πρὸς ὡραῖον νυμφῶνα, τοῦ Βασιλέως Χριστοῦ, Δομνίκη ἀνέδραμες ψάλλουσα, καὶ ὑπερυψοῦσα, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἀκολουθήσασα Χριστῷ, ὡς ποιμένι καθαρῷ ἀμνὰς τιμία, πρὸς Οὐράνιον μάνδραν, τῶν ἐπισήμων ἐν ᾧ, προβάτων συναυλία πέφυκεν, ἐν ἀγαλλιάσει, ἐσκήνωσας Δομνίκη.

Νεύσει Θεοῦ παντουργικῇ, τὴν ἀπόθεσιν τοῦ σοῦ μαθοῦσα σκήνους, χαριστήριον αἶνον, καθαρωτάτῃ ψυχῇ, τῷ πάντων Αἰτίῳ προσέφερες· οὗ τὸ σὸν εἰς χεῖρας, Σεμνὴ παρέθου πνεῦμα.

Θεοτοκίον.

Ὁ ὑπερούσιος Θεός, οὐσιοῦται δι’ ἡμᾶς τῶν σῶν ἐκ σπλάγχνων, τὴν φθαρεῖσαν οὐσίαν, ἀνακαινίσαι ζητῶν, δι’ οἶκτον Παρθένε καὶ ἔλεον, ὁ δεδοξασμένος, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Αἰνοῦμεν, εὐλογοῦμεν...Μυστήριον παράδοξον

Ὠδὴ θ΄. Τῆς ἑορτῆς.

Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν· ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν· σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

Δαυῒδ πάρεσο, Πνεύματι τοῖς φωτιζομένοις· Νῦν προσέλθετε, ᾆδε πρὸς Θεόν, ἐν πίστει λέγων φωτίσθητε· οὗτος ὁ πτωχὸς ἐκέκραξεν Ἀδὰμ ἐν πτώσει· καὶ γὰρ αὐτοῦ εἰσήκουσε Κύριος ἐλθών, ῥείθροις τοῦ Ἰορδάνου, φθαρέντα δὲ ἀνεκαίνισεν.

Ὁ Ἠσαΐας· Λούσασθε, καὶ καθάρθητε φάσκει· τὰς πονηρίας ἔναντι, ἀφέλεσθε Κυρίου· οἱ διψῶντες, ὕδωρ ἐπὶ ζῶν πορεύεσθε· ῥανεῖ γὰρ ὕδωρ καινοποιὸν Χριστός, τοῖς προστρέχουσιν αὐτῷ ἐν πίστει, καὶ πρὸς ζωὴν τὴν ἀγήρω, βαπτίζει Πνεύματι.

Συντηρώμεθα χάριτι, πιστοὶ καὶ σφραγῖδι· ὡς γὰρ ὄλεθρον ἔφυγον, φλιᾶς Ἑβραῖοι πάλαι αἱμαχθείσης, οὕτω καὶ ἡμῖν, ἐξόδιον τὸ θεῖον τοῦτο, τῆς παλιγγενεσίας λουτήριον ἔσται· ἔνθεν καὶ τῆς Τριάδος, ὀψόμεθα φῶς τὸ ἄδυτον.

Τῆς Ὁσίας. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἱερώταται χορεῖαι, τῇ σεπτῇ σου κοιμήσει, ἐξάρχουσαι τῆς θείας σου ψυχῆς, τοῖς καθορῶσιν ἐφάνησαν, ἱεραῖς μελῳδίαις, εἰς τόπον ὁδηγοῦσαί σε σκηνῆς, θαυμαστῆς ἔνθα ἦχος, ἑορταζόντων ἔνδοξε.

Ὡς τῆς ἀμπέλου σὺ θεῖον, εὐφορώτατον κλῆμα, φανεῖσα κατανύξεως ἡμῖν, θείους ἐξήνθησας βότρυας,

ἀναβλύζοντας οἶνον, ἰάσεων Δομνίκη τῶν ψυχῶν, καὶ καρδίας τῶν πίστει, τιμώντων σε εὐφραίνοντας.

Σωματικῶν παθημάτων, ψυχικῶν τε κηλίδων, καὶ πάσης τοῦ ἐχθροῦ ἐπιβουλῆς, ῥῦσαι ἡμᾶς ταῖς πρεσβείαις σου, τοὺς τῇ σκέπῃ σου πόθῳ, προσφεύγοντας Δομνίκη καὶ τὴν σήν, ἑορτὴν ἐκτελοῦντας, τὴν θείαν καὶ σεβάσμιον.

Ἡλιακὴν ὡς ἀκτῖνα καταυγάζουσαν πάντας, ὡς νύμφην τοῦ Χριστοῦ περικαλλῆ, καὶ ὡς τρυγόνα φιλόσεμνον, ὡς ἐλαίαν ὡς κέδρον, ὡς οὖσαν ἐκλεκτὴν περιστεράν, εὐφημοῦμέν σε πάντες, Δομνίκη κυριώνυμε.

Θεοτοκίον.

Φεῖσαί μου Κύριε φεῖσαι, ὅταν μέλλῃς με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με· δυσωπεῖ σε Παρθένος, ἡ σὲ κυοφορήσασα Χριστέ, τῶν Ἀγγέλων τὰ πλήθη, καὶ τῶν Ὁσίων τάγματα.

Καταβασία. Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἐξαποστειλάρια

Ἦχος γ΄. Ἐπεσκέψατο ἡμᾶς.

Τῶν γηΐνων καὶ φθαρτῶν, καταφρονήσασα σεμνή, τῷ διαπύρῳ πρὸς Χριστόν, ζήλῳ σου τῶν ἐν οὐρανοῖς, ἀφθάρτων ἐπεθύμησας· ὅθεν Δομνίκη σε στέφει, ἀφθάρτοις ἐν στέμμασιν.

Καὶ τῆς Ἑορτῆς, ὅμοιον.

Ἐπεφάνη ὁ Σωτήρ, ἡ χάρις ἡ ἀλήθεια, ἐν ῥείθροις τοῦ Ἰορδάνου, καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ, καθεύδοντας ἐφώτισε, καὶ γὰρ ἦλθεν ἐφάνη, τὸ φῶς τὸ ἀπρόσιτον.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

www.tezaurliturgic.ro

Τῆς σωφροσύνης τὸν κόσμον σοφῶς ἐνδέδυσαι, καὶ τῷ γλυκεῖ Σωτῆρι, ἠκολούθησας Μῆτερ, ἀγάπην καθ’ ἡμέραν τὴν πρὸς Αὐτόν, προσεχόντως ἐπαύξουσα, δι’ ἧς Δομνίκη ἀρίστη νυμφαγωγός, ἀνεδείχθης καὶ διδάσκαλος.

Τὴν ξενιτείαν ἐν βίῳ, ὅλῳ ἐφύλαξας, ἵνα Χριστῷ καὶ μόνον, ὦ Δομνίκη ἀρέσῃς, τῷ ξένῳ γενομένῳ ὑπερφυῶς, καὶ τὴν γῆν ἐγεώργησας, τῆς σῆς καρδίας ἐν νήψει καὶ προσευχαῖς, παρθενίᾳ καὶ ἀσκήσει τε.

Τῆς ἀληθείας τὴν χάριν, σοφῶς ἐνέσπειρας, Δομνίκη φωτοφόρε, Νόννῃ τε Δωροθέᾳ, σὺν θείᾳ Τιμοθέῃ, καὶ τῇ σεμνῇ, Εὐανθίᾳ, ἃς ἥνωσεν, ἐπουρανίῳ Νυμφίῳ θείῳ λουτρῷ, ἱερώτατος Νεκτάριος, .

Πλήρη ἐτήρεις τὸν λύχνον, τῆς θείας νήψεως, ἐλαίῳ ὦ Δομνίκη, ὡς φρονίμη παρθένος, καὶ πλήθη καθωδήγεις λόγοις τοῖς σοῖς, πρὸς Χριστοῦ τὴν ἀγάπησιν, μοναστριῶν καὶ μιγάδων ἐν τῇ Μονῇ, Ζαχαρίου τοῦ προστάτου σου.

Δόξα. Ἦχος πλ.δ΄.

Συσταυρωθεῖσα τῷ Νυμφίῳ σου Χριστῷ, Δομνίκη θεονόμαστε, τούτου εἰκὼν πανθαύμαστος, ταῖς ἀρεταῖς ἐστολισμένη, ἀνεδείχθης ἐν μοναστρίαις. Καὶ μητρικοῖς σπλάγχνοις θεοφιλῶς ἐποίμανας τὴν ἀδελφότητά σου, παράδειγμα ἔμπρακτον προτιθεῖσα τὴν ὑπερθαύμαστον πολιτείαν σου. Ὅθεν τῆς εὐτυχοῦς Βασιλευούσης καύχημα ἐγεγόνεις, καὶ τῶν θεοφιλῶν ἀσφαλὴς καταφυγή. Πλοῦτον δὲ συνάξασα σωφρόνως πνευματικόν, παρέδωκας τὴν ἱερὰν ψυχήν σου τῷ Ζωοδότῃ ὡς ἐπόθεις. Αὐτὸν ἱκέτευε πανοσία μῆτερ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς, ἦχος ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Κύριε, πληρῶσαι βουλόμενος, ἃ ὥρισας ἀπ’ αἰῶνος, ἀπὸ πάσης τῆς κτίσεως, λειτουργοὺς τοῦ μυστηρίου σου ἔλαβες· ἐκ τῶν Ἀγγέλων τὸν Γαβριήλ, ἐκ τῶν ἀνθρώπων τὴν Παρθένον, ἐκ τῶν οὐρανῶν τὸν Ἀστέρα, καὶ ἐκ τῶν ὑδάτων

τὸν Ἰορδάνην· ἐν ᾧ τὸ ἀνόμημα τοῦ κόσμου ἐξείληψας, Σωτὴρ ἡμῶν δόξα σοι.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου

Εἰς τὴν Θείαν Λειτουργίαν· Ἀπόστολος, τῆς β΄ Σεπτεμβρίου. Εὐαγγέλιον τῶν Δέκα Παρθένων. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

## Μεγαλυνάρια

Χαίροις ὦ Δομνίκη πανευκλεής, σὺ γὰρ τὸν Δεσπότην, ἀγαπήσασα ἐκ ψυχῆς, ἴχνεσι τοῖς τούτου, ὥσπερ ἀμνὰς τιμία, ἀμέπτως ἐπορεύθης, διὸ δεδόξασαι.

Ἔρωτι Νυμφίου τοῦ θεϊκοῦ, φλεχθεῖσαι Δομνίκη, Εὐανθία καὶ αἱ σεμναί, Νόννα Δωροθέα ἅμα τῇ Τιμοθέῃ, σωφρονουσῶν παρθένων, στέφος ἐλάβετε.

Νήφουσαι τοὺς λύχνους φαιδροποιούς, ὦ πεντὰς Παρθένων, ἐφυλάξατε ἐν σπουδῇ· ὅθεν εἰς νυμφῶνα, τοῦ θείου Παραδείσου, φωτὶ Χριστοῦ προσώπου, νῦν καταλάμπεσθε.

## Στίχοι

Δέξαι, Δομνίκη, πτωχήν μου ὑμνῳδίαν
Καὶ πρέσβευε Δεσπότῃ κἀμὲ σωθῆναι.




Ἀνεπληρώθη, σὺν Θεῷ ἁγίῳ, ἡ ἐν τῷ Μηναίῳ ἀκολουθία τῆς ὁσίας μητρὸς ἡμῶν Δομνίκης, ἐν

www.tezaurliturgic.ro

τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω, τῇ 19. 2. 2012.